'Αριθμ. { πρωτοκ. 3947 / διεκπερ. 2580

Ἱερώτατε Μητροπολῖτα Καισαριανῆς ὑπέρτιμε καὶ ἔξαρχε Κάτω Δερμαίνων ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν Μετριότητος κύριε Γρηγόριε, χάρις εἴη τῇ αὐτῆς Ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ. Πρὸς αἰσίαν διεκπεραίωσιν τῶν ἐκ προικὸς καὶ διαθηκῶν ἀπορρεουσῶν διαφορῶν, ἐφ' ὧν ζητεῖται παρὰ τῶν ἱερῶν Μητροπόλεων ἡ προσήκουσα ἐνέργεια τῶν Πατριαρχείων, ἀναγκαῖον κρίνεται ὅπως αἱ πρὸς ἡμᾶς ἐπὶ τῷ σκοπῷ τούτῳ διαβιβαζόμεναι ὑπὸ τῶν ἁγίων Ἀρχιερέων αἰτήσεις ἐκθέτωσι τὰ γενόμενα ἐν πάσῃ ἀκριβείᾳ καὶ λεπτομερείᾳ, ἐπισυναπτομένων ἐν αὐτοῖς καὶ ἀντιγράφων ἁπάντων τῶν σχετικῶν ἐγγράφων, ἵνα ἐπὶ τῇ βάσει τούτων μελετῶνται ἐπισταμένως ἐνταῦθα τὰ ζητήματα καὶ εἶτα διαβιβάζωνται αἱ αἰτήσεις τῶν Πατριαρχείων ὅπου δεῖ μετὰ τῆς ἀπαιτουμένης σαφηνείας καὶ πειστικότητος. Ὅθεν, διαγνώμῃ τοῦ καθ' ἡμᾶς Διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου τὴν παροῦσαν ἀπολύομεν ἡμετέραν Πατριαρχικὴν καὶ Συνοδικὴν Ἐγκύκλιον, δι' ἧς ἐντελλόμεθα τοῖς ἐν Χριστῷ ἀδελφοῖς ἁγίοις Ἀρχιερεῦσιν ἵνα ἐν περιπτώσει τοιαύτης αἰτήσεως πρὸς τὰ Πατριαρχεῖα προσέχωσιν ὅπως ἐν αὐτῇ αἱ ἐκ προικὸς ἢ διαθήκης διαφοραὶ ἐπεξηγῶνται ὅσον ἔνεστι σαφῶς ἐκτιθεμένων λεπτομερῶς πάντων τῶν γεγονότων, ἐπισυνάπτωνται δὲ καὶ πάντα τὰ σχετικὰ ἔγγραφα ἐν ἀντιγράφοις φέρουσι τὴν ἀρχιερατικὴν ἐπικύρωσιν. Ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς αὐτῆς Ἱερότητος.

,αωιζ' Αὐγούστου κε'.

† **Ο ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ** ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς

† ὁ *Χαλκηδόνος* ΓΕΡΜΑΝΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ *Δέρκων* ΚΑΛΛΙΝΙΚΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ *Τραπεζοῦντος* ΚΩΝΣΤΑΝΤΙΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ *Βιζύης* ΙΕΡΟΘΕΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ *Ἀγχιάλου* ΒΑΣΙΛΕΙΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ *Ξάνθης* ΙΩΑΚΕΙΜ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ *Σισανίου* ΑΘΑΝΑΣΙΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ *Προικοννήσου* ΒΕΝΕΔΙΚΤΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ *Κώου* ΚΑΛΛΙΝΙΚΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς